# ΠΕΤΡΟΥ Β’

Κεφαλαιο 1 Σιμων Πετρος δουλος και αποστολος *ΙΗΥ ΧΡΥ* τοις ισοτιμον ημιν λαχουσιν πιστιν
1 - 2 εν δικαιοσυνη του *ΘΥ* ημων και σωτηρος *ΙΗΥ ΧΡΥ*, χαρις υμιν και ειρηνη πληθυνθειη εν
επιγνωσει του *ΘΥ ΙΗΥ* του *ΚΥ* ημων.

Ως παντα ημιν της θειας δυναμεως αυτου τα προς ζωην και ευσεβειαν δεδωρημενης
δια της επιγνωσεως του καλεσαντος ημας δια δοξης και αρετης, δι’ ων τα τιμια και
μεγιστα ημιν επαγγελματα δεδωρηται, ινα δια τουτων γενησθε θειας κοινωνοι φυσεως
αποφυγοντες την εν τω κοσμω επειθυμιαν φθοραν. Και αυτο τουτο δε σπουδην πασαν
παρεισενεγκαντες επιχορηγησατε εν τη πιστει υμων την αρετην, εν δε τη αρετη την
γνωσιν, εν δε τη γνωσει την εγκρατειαν, εν δε τη εγκρατεια την υπομονην, εν δε τη
υπομονη την ευσεβειαν, εν δε τη ευσεβεια την φιλαδελφιαν, εν δε τη φιλαδελφια την
αγαπην. ταυτα γαρ υμιν υπαρχοντα και πλεοναζοντα ουκ αργους ουδε ακαρπους
3 - 15 καθιστησιν εις την του *ΚΥ* ημων *ΙΗΥ ΧΡΥ* επιγνωσιν· ω γαρ μη παρεστιν ταυτα, τυφλος
εστιν μυωπαζων, ληθην λαβων του καθαρισμου των παλαι αυτου αμαρτιων. διο μαλλον,
αδελφοι, σπουδασατε βεβαιαν υμων την κλησιν και εκλογην ποιεισθαι· ταυτα γαρ
ποιουντες ου μη πταισητε ποτε. ουτως γαρ πλουσιως επιχορηγηθησεται υμιν η εισοδος η
εις την αιωνιον βασιλειαν του *ΚΥ* ημων και σωτηρος *ΙΗΥ ΧΡΥ*. Δι’ ου μελλησω αει υμας
υπομιμνησκειν περι τουτων και καιπερ ει ειδοτας και εστηριγμενους εν τη παρουση
αληθεια. δικαιον δε ηγουμαι, εφ’ οσον ειμι εν τουτω τω σκηνωματι, διεγειρειν υμας εν
υπομνησει, ειδως οτι ταχινη εστιν η αποθεσις του του σκηνωματος μου καθως και ο *ΚΣ*
ημων *ΙΗΣ ΧΡΣ* εδηλωσεν μοι, σπουδαζω δε εκαστοτε εχειν υμας μετα την εμην εξοδον
την τουτων μνημην ποιεισθαι.

Ου γαρ σεσοφισμενοις μυθοις εξακολουθησαντες εγνωρισαμεν υμιν την του *ΚΥ*
ημων *ΙΗΥ ΧΡΥ* δυναμιν και παρουσιαν αλλ’ εποπται γενηθεντες της εκεινου
μεγαλειοτητος. λαβων γαρ παρα *ΘΥ ΠΡΣ* τιμην και δοξαν φωνης ενεχθεισης αυτω
τοιασδε υπο της μεγαλοπρεπους δοξης· ο υιος μου ο αγαπητος μου ουτος εστιν εις ον
16 - 21 εγω ευδοκησα, και ταυτην την φωνην ημεις ηκουσαμεν εξ ουρανου ενεχθεισαν συν
αυτω οντες εν τω αγιω ορει. και εχομεν βεβαιωτερον τον προφητικον λογον, ω καλως
ποιειτε προσεχοντες ως λυχνω φαινοντι εν αυχμηρω τοπω, εως ου ημερα διαυγαση και
φωσφορος ανατειλη εν ταις καρδιαις υμων, τουτο πρωτον γινωσκοντες οτι πασα
προφητεια και γραφη ιδιας επιλυσεως ου γινεται· ου γαρ θεληματι ανθρωπου ηνεχθη η
Κεφαλαιο 2 προφητεια ποτε, αλλα υπο *ΠΝΣ* αγιου φερομενοι ελαλησαν απο *ΘΥ*. • ανθρωποι
εγενοντο δε και ψευδοπροφηται εν τω λαω, ως και εν υμιν εσονται ψευδοδιδασκαλοι,
οιτινες παρεισαξουσιν αιρεσεις απωλειας και τον αγορασαντα αυτους δεσποτην
1 - 3 αρνουμενοι. επαγοντες εαυτοις ταχινην απωλειαν, και πολλοι εξακολουθησουσιν αυτων
ταις ασελγειαις δι ους η οδος της αληθειας βλασφημηθησεται, και εν πλεονεξια
πλαστοις λογοις υμας εμπορευσονται, οις το κριμα εκπαλαι ουκ αργει και η απωλεια
αυτων ου νυσταζει.

Ει γαρ ο *ΘΣ* αγγελων αμαρτησαντων ουκ εφεισατο αλλα σειραις ζοφου ταρταρωσας
παρεδωκεν εις κρισιν τηρουμενους, και αρχαιου κοσμου ουκ εφεισατο αλλα ογδοον Νωε
δικαιοσυνης κηρυκα εφυλαξεν κατακλυσμον κοσμω ασεβων επαξας, και πολεις
Σοδομων και Γομορρας τεφρωσας κατεκρινεν εις το δειγμα μελλοντων ασεβεσιν
τεθεικως, και δικαιον Λωτ καταπονουμενον υπο της των αθεσμων εν ασελγεια
αναστροφης ερρυσατο· βλεμματι γαρ και ακοη ο δικαιος εγκατοικων εν αυτοις ημεραν
εξ ημερας ψυχην δικαιαν ανομοις εργοις εβασανιζεν· οιδεν *ΚΣ* ευσεβεις εκ πειρασμου
4 - 14 ρυσασθαι , αδικους δε εις ημεραν κρισεως κολαζομενους τηρειν, μαλιστα δε τους οπισω
σαρκος εν επιθυμιας σαρκος πορευομενους και κυριοτητος καταφρονουντας. τολμηται
αυθαδεις, δοξης ου τρεμουσιν βλασφημουντες, οπου αγγελοι και δυναμεις μειζονες
οντες ου φερουσιν κατ’ αυτων παρα *ΚΥ* βλασφημον κρισιν. Ουτοι δε ως αλογα ζωα
φυσικα εις αλωσιν και φθοραν εν οις αγνοουσιν βλασφημουντες, εν τη φθορα αυτων και
και φθαρησονται αδικουμενοι μισθον αδικιας, ηδονην ηγουμενοι την εν ημερα τρυφης,
σπιλοι και μωμοι εντρυφωντες εν ταις απαταις αυτων συνευωχουμενοι υμιν, οφθαλμους
εχοντες μοιχαλιδος και ακαταπαυστους αμαρτιας, δελεαζοντες ψυχας αστηρικτους,

καρδιαν γεγυμνασμενην πλεονεξιας εχοντες, καταρας τεκνα· καταλειποντες ευθειαν
οδον επλανηθησαν, εξακολουθησαντες τη οδω του Βαλααμ του Βοσορ, μισθον αδικιας
ηγαπησαν ελεγξιν δε εσχεν ιδιας παρανομιας· υποζυγιον αφωνον εν ανθρωποις φωνη
φθεγξαμενον εκωλυσεν την του προφητου παραφρονιαν. ουτοι εισιν πηγαι ανυδροι και
ομιχλαι υπο λαιλαπος ελαυνομεναι, οις ζοφος του σκοτους τετηρηται. υπερογκα γαρ
ματαιοτητος φθεγγομενοι δελεαζουσιν εν επιθυμιαις σαρκος ασελγειαις τους ολιγως
14 (cont) αποφευγοντας τους εν πλανη αναστρεφομενους, ελευθεριαν αυτοις επαγγελλομενοι,
- 22 αυτοι δουλοι υπαρχοντες της φθορας· ω γαρ τις ηττηται, τουτω δεδουλωται. ει
γαρ αποφυγοντες τα μιασματα του κοσμου εν επιγνωσει του $\overline{ΚΥ}$ ημων και σωτηρος $\overline{ΙΗΥ}$
$\overline{ΧΡΥ}$, τουτοις δε παλιν εμπλακεντες ηττωνται, γεγονεν αυτοις τα εσχατα χειρονα των
πρωτων. κρειττον γαρ ην αυτοις μη εγνωκεναι την οδον της δικαιοσυνης η επιγνουσιν
υποστρεψαι εκ της παραδοθεισης αυτοις αγιας εντολης. συμβεβηκεν αυτοις το της
αληθους παροιμιας· κυων επιστρεψας επι το ιδιον εξεραμα, και· υς λουσαμενη εις
κυλισμον βορβορου.

<u>Κεφαλαιο 3</u> Ταυτην ηδη, αγαπητοι, δευτεραν υμιν γραφω επιστολην, εν αις διεγειρω υμων εν
υπομνησει την ειλικρινη διανοιαν μνησθηναι των προειρημενων ρηματων υπο των αγιων
προφητων και της των αποστολων υμων εντολης του $\overline{ΚΥ}$ και σωτηρος, τουτο πρωτον
γινωσκοντες οτι ελευσονται επ᾽ εσχατων των ημερων εν εμπαιγμονη εμπαικται κατα τας
ιδιας επιθυμιας πορευομενοι και λεγοντες· που εστιν η επαγγελια της παρουσιας αυτου;
αφ᾽ ης γαρ οι πατερες εκοιμηθησαν, παντα ουτως διαμενει απ᾽ αρχης κτισεως. Λανθανει
γαρ αυτους τουτο θελοντας οτι ουρανοι ησαν εκπαλαι και γη εξ υδατος και δια υδατος
συνεστωσης τω του $\overline{ΘΥ}$ λογω, δι᾽ ων ο τοτε κοσμος υδατι κατακλυσθεις απωλετο· οι δε
1 - 13 νυν ουρανοι και γη τω αυτω λογω τεθησαυρισμενοι εισιν πυρι τηρουμενοι εις ημεραν
κρισεως και απωλειας ασεβων ανθρωπων. Εν δε τουτω μη λανθανετω υμας, αγαπητοι,
οτι μια ημερα παρα $\overline{ΚΩ}$ ως χιλια ετη ως ημερα μια. ου βραδυνει $\overline{ΚΣ}$ της επαγγελιας, ως
τινες βραδυτητα ηγουνται, αλλα μακροθυμει εις υμας, μη βουλομενος τινας απολεσθαι
αλλα παντας εις μετανοιαν χωρησαι. Ηξει δε ημερα $\overline{ΚΥ}$ ως κλεπτης, εν η οι ουρανοι
ροιζηδον παρελευσονται στοιχεια δε καυσουμενα λυθησεται και γη και τα εν αυτη εργα
ευρεθησεται λουμενα. Τουτων ουτως παντως λυομενων ποταπους δει υπαρχειν υμας εν
αγιαις αναστροφαις και ευσεβειαις, προσδοκωντας και σπευδοντας την παρουσιαν της
του $\overline{ΘΥ}$ ημερας δι᾽ ην ουρανοι πυρουμενοι λυθησονται και στοιχεια καυσουμενα
τηκεται. καινους δε ουρανους και γην καινην κατα το επαγγελμα αυτου προσδοκωμεν,
εν οις δικαιοσυνη κατοικει.

Διο, αγαπητοι, ταυτα προσδοκωντες σπουδασατε ασπιλοι και αμωμητοι αυτω
ευρεθηναι εν ειρηνη και την του $\overline{ΚΥ}$ ημων μακροθυμιαν σωτηριαν ηγεισθε, καθως και ο
αγαπητος ημων αδελφος Παυλος κατα την δοθεισαν αυτω σοφιαν εγραψεν υμιν. Ως και
εν πασαις επιστολαις λαλων εν αυταις περι τουτων, εν αις εστιν δυσνοητα τινα, α οι
14 - 18 αμαθεις και αστηρικτοι στρεβλωσουσιν ως και τας λοιπας γραφας προς την ιδιαν εαυτων
απωλειαν. Υμεις ουν, αγαπητοι, προγινωσκοντες φυλασσεσθε, ινα μη τη των αθεσμων
πλανη συναπαχθεντες εκπεσητε του ιδιου στηριγμου, αυξανεσθε δε εν χαριτι και γνωσει
του $\overline{ΚΥ}$ ημων και σωτηρος $\overline{ΙΗΥ}$ $\overline{ΧΡΥ}$. αυτω η δοξα και νυν και εις ημεραν αιωνος. αμην.

# 2 Petros: Textual Critical Edition

Basis of *The Way To Yahuweh* Translation